*ἀνακρουομένων τὰς ἀναθυμιάσεις, ὥσπερ ὁ τῶν ἴων καὶ
ῥόδων στέφανος· στύφει γὰρ ἀμφότερα καὶ ⟨συ⟩στέλλει
τῇ ὀσμῇ τὰς καρηβαρίας. τὸ δὲ τῆς κύπρου ἄνθος καὶ ὁ
κρόκος καὶ ἡ βάκκαρις εἰς ὕπνον ἄλυπον ὑπάγει τοὺς πε-
πωκότας· ἔχει γὰρ ἀπορροὴν λείαν καὶ προσηνῆ καὶ τὰς
περὶ τὸ σῶμα τῶν μεθυσκομένων ἀνωμαλίας καὶ τρα-
χύτητας ἡσυχῇ διαχέουσαν, ὥστε γινομένης γαλήνης
ἀμβλύνεσθαι καὶ συνεκπέττεσθαι τὸ κραιπαλῶδες. ἐνίων
δ' ἀνθῶν ὀσμαῖς ἄνω σκιδναμέναις περὶ τὸν ἐγκέφαλον οἵ
E τε πόροι τῶν αἰσθητηρίων ἐκκαθαίρονται καὶ λεπτύνεται
τὰ ὑγρὰ πράως ἄνευ πληγῆς καὶ σάλου τῇ θερμότητι
διακρινόμενα, καὶ φύσει ψυχρὸς ὢν ὁ ἐγκέφαλος ἀνα-
θάλπεται. διὸ μάλιστα τοὺς ἀνθίνους ἐκ τῶν τραχήλων
καθάπτοντες 'ὑποθυμίδας' ἐκάλουν, καὶ τοῖς ἀπὸ τού-
των μύροις ἔχριον τὰ στήθη· μαρτυρεῖ δ' Ἀλκαῖος* (fr. 42.
I p. 427 D.) *κελεύων 'καταχέαι τὸ μύρον αὐτοῦ κατὰ τᾶς
πόλλα παθοίσας κεφάλας καὶ τῶ πολίω στήθεος'. οὕτω
καὶ ἐντεῦθεν αἱ ὀσμαὶ τοξεύουσιν ὑπὸ θερμότητος εἰς τὸν
ἐγκέφαλον ἁρπαζόμεναι ταῖς ὀσφρήσεσιν. οὐ γάρ, ὅτι τῇ
καρδίᾳ τὸν θυμὸν ἐνστρατοπεδεύειν ᾤοντο, τοὺς περι-
F δεραίους τῶν στεφάνων ὑποθυμίδας ἐκάλουν (ἐπιθυμίδας
γὰρ αὐτοῖς διά γε τοῦτο μᾶλλον ἦν καλεῖσθαι προσῆκον),
ἀλλ' ὡς λέγω διὰ τὴν ἀποφορὰν καὶ ὑποθυμίασιν. μὴ
θαυμάζωμεν δ' εἰ τοσαύτην αἱ τῶν στεφάνων ἀποφοραὶ*